οἴκων πατριῶν υἱῶν Ισραηλ [2]καὶ εἶπαν Τῷ κυρίῳ ἡμῶν ἐνετείλατο 2
κύριος ἀποδοῦναι τὴν γῆν τῆς κληρονομίας ἐν κλήρῳ τοῖς υἱοῖς
Ισραηλ, καὶ τῷ κυρίῳ συνέταξεν κύριος δοῦναι τὴν κληρονομίαν
Σαλπααδ τοῦ ἀδελφοῦ ἡμῶν ταῖς θυγατράσιν αὐτοῦ. [3]καὶ ἔσονται 3
ἑνὶ τῶν φυλῶν υἱῶν Ισραηλ γυναῖκες, καὶ ἀφαιρεθήσεται ὁ κλῆρος
αὐτῶν ἐκ τῆς κατασχέσεως τῶν πατέρων ἡμῶν καὶ προστεθήσεται
εἰς κληρονομίαν τῆς φυλῆς, οἷς ἂν γένωνται γυναῖκες, καὶ ἐκ τοῦ
κλήρου τῆς κληρονομίας ἡμῶν ἀφαιρεθήσεται. [4]ἐὰν δὲ γένηται ἡ 4
ἄφεσις τῶν υἱῶν Ισραηλ, καὶ προστεθήσεται ἡ κληρονομία αὐτῶν
ἐπὶ τὴν κληρονομίαν τῆς φυλῆς, οἷς ἂν γένωνται γυναῖκες, καὶ ἀπὸ
τῆς κληρονομίας φυλῆς πατριᾶς ἡμῶν ἀφαιρεθήσεται ἡ κληρονομία
αὐτῶν. [5]καὶ ἐνετείλατο Μωυσῆς τοῖς υἱοῖς Ισραηλ διὰ προστάγμα- 5
τος κυρίου λέγων Οὕτως φυλὴ υἱῶν Ιωσηφ λέγουσιν. [6]τοῦτο τὸ 6
ῥῆμα, ὃ συνέταξεν κύριος ταῖς θυγατράσιν Σαλπααδ λέγων Οὗ
ἀρέσκει ἐναντίον αὐτῶν, ἔστωσαν γυναῖκες, πλὴν ἐκ τοῦ δήμου
τοῦ πατρὸς αὐτῶν ἔστωσαν γυναῖκες, [7]καὶ οὐχὶ περιστραφήσεται 7
κληρονομία τοῖς υἱοῖς Ισραηλ ἀπὸ φυλῆς ἐπὶ φυλήν, ὅτι ἕκαστος
ἐν τῇ κληρονομίᾳ τῆς φυλῆς τῆς πατριᾶς αὐτοῦ προσκολληθήσον-
ται οἱ υἱοὶ Ισραηλ. [8]καὶ πᾶσα θυγάτηρ ἀγχιστεύουσα κληρονομίαν 8
ἐκ τῶν φυλῶν υἱῶν Ισραηλ ἑνὶ τῶν ἐκ τοῦ δήμου τοῦ πατρὸς
αὐτῆς ἔσονται γυναῖκες, ἵνα ἀγχιστεύσωσιν οἱ υἱοὶ Ισραηλ ἕκαστος
τὴν κληρονομίαν τὴν πατρικὴν αὐτοῦ· [9]καὶ οὐ περιστραφήσεται 9
κλῆρος ἐκ φυλῆς ἐπὶ φυλὴν ἑτέραν, ἀλλὰ ἕκαστος ἐν τῇ κληρο-
νομίᾳ αὐτοῦ προσκολληθήσονται οἱ υἱοὶ Ισραηλ. [10]ὃν τρόπον συν- 10
έταξεν κύριος Μωυσῇ, οὕτως ἐποίησαν θυγατέρες Σαλπααδ, [11]καὶ 11
ἐγένοντο Θερσα καὶ Εγλα καὶ Μελχα καὶ Νουα καὶ Μααλα θυγα-
τέρες Σαλπααδ τοῖς ἀνεψιοῖς αὐτῶν· [12]ἐκ τοῦ δήμου τοῦ Μανασση 12
υἱῶν Ιωσηφ ἐγενήθησαν γυναῖκες, καὶ ἐγένετο ἡ κληρονομία αὐτῶν
ἐπὶ τὴν φυλὴν δήμου τοῦ πατρὸς αὐτῶν.

[13]Αὗται αἱ ἐντολαὶ καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα, ἃ ἐνετεί- 13
λατο κύριος ἐν χειρὶ Μωυσῇ ἐπὶ δυσμῶν Μωαβ ἐπὶ τοῦ Ιορδάνου
κατὰ Ιεριχω.

1 υιων ult.] pr. των ABc || 2 κυριος δουναι] tr. A† || 3 προστεθησονται A† | κληρονομιαν] pr. την A || 4 αφεσις] αφαιρεσεις(pro -σις) A || 6 γυναικες 1⁰ ⌒ 2⁰ B*† || 7 και > A† | προσκολλ.] pr. και B† | οι > B*† || 8 εκ των φυλων > A† | αυτου > B*† || 9 ου > A† || 10 μωυση B† (pr. τω al.)] προς μωυσην A | θυγατερες] -τρασι(ν) B || 11 θερσα] pr. μαλαα και A | και μααλα > A || 12 του 2⁰ > A | εγενηθησαν] + αυτοις A† | εγενετο] -νηθη A

Subscr. αριθμοι BA